τῆς ἁγίας εἰκόνος νομίσματα ὅμοια δύο, τὰ δὲ λοιπὰ ὑπαλλαττέσθωσαν εἰς ἁγιογεωργάτα νομίσματα, καὶ διδόσθωσαν ταῦτα εἰς τὰ σίγνα. Ὁ μέντοι καθηγούμενος καὶ οἱ σὺν αὐτῷ οἰκονομοῦντες τὰ περὶ τὴν μονὴν καὶ τὸν ναὸν φροντίσουσι πάντως τοῦ εἶναι τοὺς κληρικοὺς ἀξιολόγους, τοὺς μέλλοντας τάσσεσθαι εἰς τὸν ναόν. (οϐ.]

Ἐπεὶ δὲ καὶ ξενὼν ἀφωρίσθη παρὰ τῆς βασιλείας μου, ἔχειν ὀφείλων ἀνακεκλιμένους ἀῤῥώστους πεντήκοντα, βούλομαι καὶ διατυπῶ κλίνας μὲν εἶναι τοσαύτας εἰς ἀνάπαυσιν τῶν τοιούτων ἀῤῥώστων· ἔσονται δὲ ἀπὸ τούτων τῶν πεντήκοντα, δέκα μὲν λόγῳ τῶν ἐνοχλουμένων τραύμασιν ἢ καὶ κεκλασμένων, λόγῳ δὲ τῶν ὀφθαλμιώντων, καὶ κοιλιακῷ κατεχομένων νοσήματι, καὶ ἑτέροις τισὶν ὀξυτάτοις ἐπωδύνοις ἑτέρας ὀκτώ. Ταῖς δὲ γυναιξί, ταῖς νοσούσαις, ἀφορισθήσονται κλίναι δώδεκα, καὶ αἱ λοιπαὶ τοῖς ἁπλῶς νοσοῦσιν ὑπολειφθήσονται· εἰ δὲ πολλάκις ἐπιλείπουσιν ἢ ἀπὸ τῶν τραυματικῶν τινες, ἢ ἀπὸ τῶν ὀφθαλμιώντων καὶ λοιποῖς ὀξυτάτοις κατεχομένων νοσήμασιν, ἀναπληρωθήσεται ὁ ἀριθμὸς δι' ἑτέρων ἀῤῥώστων, τῶν ἁπλῶς οἱᾳδήτινι νόσῳ κατεχομένων. Ἑκάστη δὲ κλίνη ἐχέτω τζόλιον ἕν, πιλωτὸν μετὰ προσκεφαλαίου καὶ ἐφάπλωμα, κατὰ δὲ τὸν χειμῶνα καὶ λοονίκια δύο. Ἐπεὶ οὖν αἱ τοιαῦται πεντήκοντα κλίναι εἰς πέντε ὀρδίνους διῄρηνται, ἔσεται ἐφ' ἑκάστῳ ὀρδίνῳ καὶ παρακράββατον ἕν, ἐν ᾧ τεθήσεται εἴ τις τῶν (π. 99] νοσούντων ἀναγκαῖος μὲν ἐστὶ διὰ τὸ κατεπεῖγον τῆς νόσου ἀνακλιθῆναι, δια δὲ τὸ πλῆρες τῶν κραββάτων οὐχ' εὑρίσκει τόπον ἔμβαθμον ἀνακλίσεως· πάρεξ δὲ τῶν τοιούτων κραββάτων, καὶ ἕτεραι κλίναι ἀφορισθήσονται περισσαὶ ἕξ, ἔχουσαι πιλωτὰ κατὰ τὸ μέσον τετρυπημένα, λόγῳ τῶν μὴ δυναμένων ὅλως μετακινεῖσθαι, ἢ διὰ τὸ τῶν νοσημάτων ὀξύ, ἢ διὰ τὴν τῆς δυνάμεως ἄκραν ἀσθένειαν, ἢ πολλάκις καὶ διὰ τὸ τῶν ἐπισυμβαινόντων τραυμάτων ἐπώδυνον· ὀφείλουσι δὲ φυλάττεσθαι διηνεκῶς λόγῳ τῶν ἀπορωτέρων ἀῤῥώστων, ἢ καὶ δεινοτέροις συνεχομένων νοσήμασιν ὑποκάμισα καὶ ἱμάτια ἄχρι τῶν πεντεκαίδεκα ἢ καὶ εἴκοσιν, ὡς ἂν ὁπηνίκα ἀνακλίνωνται ἀλλάσσωσι ταῦτα, τὰ δὲ ἱμάτια αὐτῶν ἵνα πλύνωνται καὶ φυλάττωνται αὐτοῖς, ὥστε ἐνδύεσθαι ταῦτα ὁπηνίκα τῆς νόσου ἀπαλλαττόμενοι ὑποχωρεῖν μέλλουσι. Καθ' ἕκαστον δὲ χρόνον ἀπὸ τῶν τοιούτων ἐγκοίτων καὶ τῶν λοιπῶν ἐνδυμάτων, ἵνα ὑπαλλάττωνται ὁπόσα παντελῶς ἀχρηστεύουσι, τὰ δὲ πιλωτοπροσκέφαλα ἵνα ἀποῤῥάπτωνται καὶ ἀναξαίνηται τὸ μαλλίον, καὶ τὰ διεῤῥηγμένα (οϐ.] πανία ἀλλάττωνται καὶ αὖθις ἀναῤῥάπτωνται, πρὸς τὴν τῶν ἀνακλινομένων ἀνάπαυσιν. Τὰ